ἀναγκασθῇ δὲ πολλάκις ἀπελθεῖν πρὸς τὰς θύρας τῶν δικαζόντων καὶ παρακαλῆσαι αὐτὸν ἀδικῆσαι. ἐν ἐπίστήμῃ δέ ἐστι τὸ εἰδέναι τὸ ὅτι καὶ τὸ διότι καὶ δυσεκνίπτως ἔχειν μηδέποτε μεταπεισθῆναι. ὁ οὖν ἐπιστήμην ἔχων τοῦ δικαίου οἶδεν τὴν φύσιν αὐτοῦ, ὁ δὲ εἰδὼς τὴν φύσιν αὐτοῦ οὐδέποτε ἀποστήσεται αὐτοῦ ἀλλ' ἀεὶ διώξει αὐτὸ καὶ προσαγκαλίσεται
3 μηδέποτε ἁμάρτημα ποιῶν μήτε ἑκούσιον μήτε ἀκούσιον. καὶ ἐπειδὴ παρὰ τὸ ἀκούσιον γεγόναμεν, ἰστέον ὅτι ὁ Πλάτων πάντα τὰ ἁμαρτήματα ἀκούσια λέγει· τί οὖν; οὐκ εἰσὶν καὶ ἑκουσία; φαμὲν ὅτι ναί· ἀλλὰ ἀκούσια λέγει, ἐπειδὴ πάντως χρεία ψευδοῦς προτάσεως, ἵνα γένηται τὸ ἁμάρτημα· τὸ δὲ ψεῦδος περὶ τὴν μείζονα πρότασιν γίνεται, οἷον Ὀρέστης λέγει, ὅτι ἡ μήτηρ ἐφόνευσε τὸν πατέρα, πᾶσα φονεύσασα ἴδιον ἄνδρα φονεύεσθαι ὀφείλει, φονευθήσεται ἄρα ἡ μήτηρ. ἰδοὺ διὰ τὴν μείζονα πρότασιν ἥμαρτεν· εἰ γὰρ καὶ πᾶσα φονεύεται φονεύουσα, ἀλλ' οὐχ ὑπὸ ἰδίου υἱοῦ, ἐπεὶ οὖν ψεύδεται ἡ πρότασις. διὰ τοῦτο ἀκουσίως ἡμαρτηκέναι λέγεται, ἐπειδὴ ἑκουσίως περιπίπτομεν τῷ ψεύδει· οὐδεὶς γὰρ ἑκὼν θέλει τὸ ψεῦδος, εἴ γε πάντες ἀληθείας ἐρῶμεν· ὁ οὖν ἐπιστήμων τοῦ δικαίου δίκαια βούλεται, ἐπειδὴ οἶδεν τὴν φύσιν τῶν δικαίων, εἰ δὲ δίκαια βούλεται ἐπιστήμων γενόμενος, δῆλον ὅτι καὶ πράξει αὐτά, ὥστε καλῶς προῆλθεν ὁ
4 συλλογισμός· εἰ δὲ τοῦτο, δέδεικται ἡ ἀντίφασις. εἰ γὰρ τὰ δίκαια οἶδεν ὁ ῥήτωρ, οὐδέποτε ἀδικήσει· σὺ δὲ ἔλεγες, ὅτι δύναται καὶ ἀδικεῖν, ὅπερ ἄτοπον. δεῖ δὲ προσέχειν τῇ τάξει τοῦ συλλογισμοῦ· εἶπεν γάρ· ὁ ῥήτωρ ἐπιστήμων ἐστὶ τῶν δικαίων· ἰδοὺ ἀπὸ ἐπιστήμης ἤρξατο· πάλιν ἔφη, ὅτι ὁ ἐπιστήμων τῶν δικαίων βούλεται τὰ δίκαια· ὅρα δευτέραν τὴν ἕξιν· τὸ γὰρ βούλεσθαι ἕξεώς ἐστιν· εἶτα λέγει, ὅτι ὁ βουλόμενος τὰ δίκαια πράττει τὴν ἐνέργειαν δεικνύς· ἐπαγαγὼν δὲ τό· ὁ τὰ δίκαια πράττων οὐδέποτε ἀδικεῖ, τὴν στέρησιν εἶπεν· τάξις οὖν πολλή· ἔστιν γὰρ πρώτη ἐπιστήμη, εἶτα

---

2 mg. γ′ 9 mg. ἀπορία. λύσις. ση. αἰτία δι' ἣν ἀπατώμενοι ἑκουσίως ἁμαρτάνειν λεγόμεθα 13 mg. φονεύεται ὑφ' ἑτέρων ‿ τὸν ἄνδρα ‿ ἡ τοῦ Ὀρέστου μήτηρ ἐφόνευσεν

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id408547804/64 UNIVERSITÄT LEIPZIG